57 *κτηνέων μὲν εὐγένεια ἡ τοῦ σ κ ή ν ε ο ς εὐσθένεια, ἀνθρώπων δὲ ἡ τοῦ ἤθεος εὐτροπίη* 223 *ὧν τὸ σ κ ῆ ν ο ς χρήζει, πᾶσι πάρεστιν εὐμαρέως ἄτερ μόχθου καὶ ταλαιπωρίης· ὁκόσα δὲ μόχθου καὶ ταλαιπωρίης χρήζει καὶ βίον ἀλγύνει, τούτων οὐκ ἱμείρεται τὸ σ κ ῆ ν ο ς* 270 *οἰκέταισιν ὡς μέρεσι τοῦ σ κ ή ν ε ο ς χρῶ ἄλλῳ πρὸς ἄλλο* 288 *νόσος οἴκου καὶ βίου γίνεται ὅκωσπερ καὶ σ κ ή ν ε ο ς.*

**σκιά** (τύπ. *σκιή*). Σκιά, shadow, Δημόκριτος 145 *λόγος ... ἔργου σ κ ι ή.*

**σκιδνάναι.** Διασκορπίζομαι, disperse, Ἡράκλειτος 91 *σ κ ί δ ν η σ ι καὶ πάλιν συνάγει.* || **σκίδνασθαι.** Παρμενίδης 4.3 *οὔτε σ κ ι δ ν ά μ ε ν ο ν ... οὔτε συνιστάμενον* Δημόκριτος Α (DK II 116,13) *σ κ ί δ ν α σ θ α ι* διὰ τὸ τάχος.

**σκιερός.** Σκιερός, shady, Ἐμπεδοκλῆς 61.4 *πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι, βουγενῆ ἀνδρόπρῳρα, τὰ δ' ἔμπαλιν ἐξανατέλλειν ἀνδροφυῆ βούκρανα, μεμειγμένα τῇ μὲν ἀπ' ἀνδρῶν τῇ δὲ γυναικοφυῆ σ κ ι ε ρ ο ῖ ς ἠσκημένα γυίοις.*

**σκληρός** (ἀντίθ. *μαλθακός*). Σκληρός, hard, Μέλισσος 8(3) *ὅ τε σίδηρος σ κ λ η ρ ὸ ς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων.* || (τὸ) **σκληρόν.** Μέλισσος 8(3) *δοκεῖ δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν καὶ τὸ σ κ λ η ρ ὸ ν μαλθακὸν καὶ τὸ μαλθακὸν σ κ λ η ρ ό ν.* Πρβλ. *κρατύνειν, ἰσχυρός.*

**σκολιός** (ἀντίθ. *εὐθύς*). Σκολιὸς/λοξότμητος, winding/slanted, Ἡράκλειτος 59 *γναφείῳ ὁδὸς εὐθεῖα καὶ σ κ ο λ ι ὴ ... μία ἐστὶ ... καὶ ἡ αὐτή.*

**σκότιος** (συνών. *σκοτόεις*, ἀντίθ. *γνήσιος*). Ἀσαφὴς/ἀνακριβής, unclear/inexact, Δημόκριτος 11 *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σ κ ο τ ί η· καὶ σ κ ο τ ί η ς μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις ... ὅταν ἡ σ κ ο τ ί η μηκέτι*

Ακαδημία Αθηνών / Academy of Athens